# Παράκληση εις τον Άγιο Μάμα τον Θαυματουργό




Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ' (142) Ψαλμόν. Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησιν μου ἐν τῆ ἀληθείᾳ σου, εἰσάκουσον μου ἐν τῆ δικαιοσύνη σοῦ καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιον σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν ἐπ' ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχύ εἰσάκουσον μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου μή ἀποστρέψῃς τό πρόσωπον σου ἀπ' ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί  σοί ἤλπισα γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μοῦ ἐξελοῦ μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. Δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἰ ὁ Θεός μοῦ τό πνεῦμα σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῆ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματος σου, Κύριε, ζήσεις μέ, ἐν τῆ δικαιοσύνη σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλος σου εἰμι.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Στίχος ά'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β'. Πάντα τά ἔθνη ἐκύκλωσαν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ'. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τὸ τροπάριον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Τοὺς καταφεύγοντας τῷ θείῳ ναῷ σου, καὶ τὴν θερμήν σου προστασίαν αἰτοῦντας, Μεγαλομάρτυς Μάμα παναοίδιμε, πάσης ἀπολύτρωσαι, ἐπηρείας καὶ βλάβης, καὶ παθῶν καὶ θλίψεων, καὶ δεινῶν συμπτωμάτων, ἡμῖν δὸς τὴν συγχώρησιν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπò τῆς ἀνομίας μου καί ἀπò τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπò τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπò τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου,

ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς
Σὺ εἶ ὦ Μάμα, ἡμῶν προστάτης. Γερασίμου.

ᾨδὴ α´. Ἦχος πλ. δ´. Ὑγρὰν διοδεύσας.
Στενώσεως πάσης ὀδυνηρᾶς, ἡμᾶς Μάρτυς Μάμα, διατήρησον ἀσινεῖς, καὶ πάσης ἐν βίῳ δυσπραγίας, τοὺς εὐλαβῶς προσιόντας τῇ σκέπῃ σου.

Ὑψόθεν ἐπίβλεψον εὐμενῶς, ἡμῖν Μάρτυς Μάμα, καὶ παράσχου ὡς συμπαθής, ψυχῶν καὶ σωμάτων θεραπείαν, τοῖς τῷ ἁγίῳ ναῷ σου προστρέχουσι.

Ἐν θλίψεσι τάχιστον βοηθόν, πλουτοῦντές σε Μάρτυς, ἐκβοῶμεν ἀπὸ ψυχῆς· βοήθει ἡμῖν πάσῃ ἀνάγκῃ, καὶ πάσης βλάβης ἡμᾶς ἀπολύτρωσαι.

Θεοτοκίον.
Ἰάτρευσον Κόρη τὴν χαλεπῶς, νοσοῦσαν ψυχήν μου, ταῖς τοῦ πλάνου ἐπιβουλαῖς, καὶ λῦσον παθῶν μου τὴν ὁμίχλην, τῇ φωταυγεῖ Σου πρεσβείᾳ πανάχραντε.

ᾨδὴ γ´. Οὐρανίας ἁψῖδος.
Ὡς Χριστοῦ Ἀθλοφόρος καὶ ἀῤῥαγὴς πρόβολος, Μάμα τῶν ἀεὶ ἀφορώντων πρὸς τὴν πρεσβείαν σου, δίωκε πάντοτε, τὰς καθ’ ἡμῶν ἐπιθέσεις, τοῦ δολίου δράκοντος, τῇ προστασίᾳ σου.

Μαρτυρήσας γενναίως ὑπὲρ Χριστοῦ Ἅγιε, φέρειν γενναιόφρονι γνώμῃ, ἡμᾶς ἐνίσχυσον, ἅπαν ἐπίπονον, καὶ τὸν Χριστὸν ἐκδυσώπει, δοῦναι ἡμῖν ἔλεος, Μάμα δεόεμθα.

Ἀπὸ πάσης ἀνάγκης καὶ προσβολῆς ἔνδοξε, καὶ τῶν ἐν τῷ βίῳ κινδύνων, καὶ περιστάσεων, ἀτρώτους φύλαττε, τοὺς τῷ ἁγίῳ σου Μάμα, καταφεύγοντας, καὶ σὲ γεραίροντας.

Θεοτοκίον.

Μητροπάρθενε Κόρη ἡ τὸν Θεὸν τέξασα, σάρκα γεγονότα ἀτρέπτως, ἐκ τῶν αἱμάτων σου, σαρκός μου ἴασαι, καὶ τῆς ψυχῆς τὰς ὀδύνας, καὶ τὸν νοῦν μου λάμπρυνον, φωτὶ τῆς χάριτος.

Διάσωσον, Μάμα θεόφρον Κυρίου Μεγαλομάρτυς, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, τῶν ἐν τῷ βίῳ κινδύνων καὶ πάσης βλάβης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.
Πρεσβεύειν ἀεὶ Θεῷ τῷ πανοικτίρμονι, μὴ παύσῃ σοφέ, ὑπὲρ τῶν εὐφημούντων σε, ὡς ἂν παθῶν καὶ θλίψεων, οἱ τιμῶντές σε Μάμα ῥυώμεθα, ὅτι τῇ σῇ ἀντιλήψει πιστῶς, προστρέχοντες χάριτος πληρούμεθα.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.
Ἀντιλήπτωρ θερμότατος, πέλων Μάρτυς Μάμα τῶν εὐφημούντων σε, ἀφ’ ἡμῶν ἀπαύστως δίωκε, πᾶσαν τοῦ ἀλάστορος ἐπήρειαν.

Ἡ σὴ χάρις ἐκλάμπουσα, ὑπὲρ τὰς αὐγὰς ἡλίου ἑκάστοτε, διαλύει ζόφον ἅπαντα, Μάμα Ἀθλοφόρε πικρῶν θλίψεων.

Μὴ ἐλλείπῃς δεόμεθα, χεῖρα βοηθείας καὶ ἀντιλήψεως, ἐπορέγειν τοῖς ἐκ πίστεως, ἐπικαλουμένοις τὸ σὸν ὄνομα.

Θεοτοκίον.
Ὡς τεκοῦσα ἐν σώματι, Κόρη Παναγία τὸν Ὑπερούσιον, ἀεὶ πρέσβευε δεόμεθα, σώζεσθαι τοὺς πίστει Σε δοξάζοντας.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.
Νόσων χαλεπῶν, ψυχῆς ἅμα καὶ τοῦ σώματος, καὶ μαστίγων ὀλεθρίων καὶ δεινῶν, ἐλευθέρωσον ἡμᾶς Μάμα μακάριε.

Πλήρωσον ἡμῶν, τὰς αἰτήσεις Μάμα ἔνδοξε, τῶν θερμῶς προσκαλούντων σε σοφέ, οἷα πρέσβυς ἡμῶν μέγιστος πρὸς Κύριον.

Ῥάβδῳ μυστικῇ, τῶν θερμῶν σου ἀντιλήψεων, ἐκ τῆς ποίμνης σου ἀπέλασον μακράν, τὸν ὁρμῶντα καθ’ ἡμῶν θῆρα ἀόρατον.

Θεοτοκίον.
Ὄμβρησον ἡμῖν, ὡς νεφέλη θείου Πνεύματος, ἀγαλλίασιν ὡς δρόσον νοητήν, Θεοτόκε τοῖς ἐν θλίψεσι στενάζουσι

ᾨδὴ στ΄. Τὴν δέησιν.
Σταγόσι, καὶ ἐπομβρίαις ἀΰλοις, τῶν σεπτῶν σου πρεσβειῶν πρὸς τὸν Κτίστην, σβέσον ἡμῶν, τῶν παθῶν τὰς καμίνους, καὶ τὰς καρδίας ἡμῶν καταδρόσισον, τὰς τηκομένας τοῖς δεινοῖς, Αθλοφόρε Χριστοῦ Μάμα ἔνδοξε.

Τοῦ βίου, τὴν χαλεπὴν ἡμῶν ζάλην, εἰς γαλήνην μεταποίησον Μάρτυς, καὶ ἀσφαλῶς, καθοδήγησον Μάμα, ἐπὶ λιμένα τοῦ θείου θελήματος, τοὺς παραβάσει πολλαῖς θαλαττεύοντας, φθόνῳ τοῦ ὄφεως.

Ἀγγέλων, συγχορευτὴς Μάμα πέλων, σὺν αὐτοῖς διὰ παντὸς ἐκδυσώπει, δαιμονικῆς, ἐπηρείας καὶ βλάβης, ἀεὶ λυτροῦσθαι τοὺς σὲ μακαρίζοντας, καὶ πάσης μάστιγος ἡμᾶς, ἀβλαβεῖς διασώζεσθαι Ἅγιε.

Θεοτοκίον.
Τὸν Κτίστην, καὶ Ποιητὴν τῶν ἁπάντων, ἀπορρήτως σωματώσασα Κόρη, σωματικῶν, ἡμᾶς λύτρωσαι πόνων, καὶ ψυχικῆς ἀθυμίας δεόμεθα, καὶ μετανοίας δίδου φῶς, τοῖς ἐν σκότει δεινῶν παραπτώσεων.

Διάσωσον, Μάμα θεόφρον Κυρίου Μεγαλομάρτυς, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, τῶν ἐν τῷ βίῳ κινδύνων καὶ πάσης βλάβης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.
Ὡς ἀντιλήπτωρ ἡμῶν ἑτοιμότατος, καὶ πρὸς Χριστὸν πρεσβευτὴς Μάμας μέγιστος, ἀπαύστως ἱκέτευε Ἅγιε, πειρατηρίων δεινῶν καὶ κακώσεων, ἡμᾶς ἀσινεῖς διασώζεσθαι.

Προκείμενον
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον Ἐκ τοῦ κατὰ Ἰωάννην (Κεφ. ιε΄ 17 – στ΄ 2, 17 – στ΄ 2).
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε

ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον.

Δόξα.
Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Καί νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Ὅρμον ὡς ἀχείμαστον, τὸν σὸν ναὸν κεκτημένοι, Μάμα παμμακάριστε, ἐν αὐτῷ προστρέχομεν μετὰ πίστεως, καὶ δεινῶν θλίψεων, καὶ πικρῶν κυμάτων, τῶν ἐν βίῳ ἐκλυτρούμεθα, τῇ ἀντιλήψει σου· ὅθεν ἐκβοῶμέν σοι Ἅγιε· εἰρήνην ἀστασίαστον, καὶ γαλήνην δίδου ἀτάραχον, πᾶσιν Ἀθλοφόρε, τοῖς μέλπουσι τοὺς ἄθλους σου φαιδρῶς, καὶ τὴν θερμὴν προστασίαν σου, εὐσήμως κηρύττουσι.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Ἡ δοθεῖσά σοι χάρις ἐκ χειρὸς τοῦ Σωτῆρος Μάμα πολύαθλε, προφθάνει καὶ λυτροῦται, κινδύνων πολυτρόπων, τοὺς καλοῦντας τὴν κλῆσίν σου· διὸ τὴν σὴν ἀρωγήν, φωνοῦμεν οἱ ἐν πόνοις.

Συστροφῆς ὀλεθρίου τῶν ἀεὶ τεκταινόντων θλίψεως καὶ δάκρυα, τῇ σῇ πρὸς τὸν Σωτῆρα, ἀπάλλαξον πρεσβείᾳ, Μάρτυς Μάμα τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Γενοῦ ἄρρηκτον τεῖχος καὶ προπύργιον θεῖον Μάμα πολύαθλε, τοῖς πίστει

προσιοῦσι, τῷ ἱερῷ ναῷ σου, καὶ ζητοῦσιν ἑκάστοτε, τῆς προστασίας τῆς σῆς, τὰς σωτηρίους δόσεις.

Θεοτοκίον.
Ἐσαρκώθης ὡς οἶδεν ὁ τῶν ὅλων Δεσπότης δι' ἀγαθότητα, ἐκ Σοῦ Παρθενομῆτορ, καὶ ὤφθη τοῖς ἐν κόσμῳ διασώζων τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

ᾨδὴ η΄. Τὸν Βασιλέα.
Ῥῶσιν παράσχου, καὶ τὴν κατ' ἄμφω ὑγείαν, Μάμα ἔνδοξε Μαρτύρων ὡραιότης, τοῖς καταφοιτῶσι, τῷ θείῳ σου τεμένει.

Ἀῤῥωστημάτων, καὶ πολυπλόκων σκανδάλων, διαφύλαττε ἀπαρατρώτους Μάμα, τοὺς ὑμνολογοῦντας, τοὺς θείους σου ἀγῶνας.

Σκέπε ἐκ πάσης, δαιμονικῆς ἐπηρείας, Μάμα ἔνδοξε καὶ δόλου καὶ μανίας, τοὺς ἐκδεχομένους, τὴν ἀρωγήν σου Μάρτυς.

Θεοτοκίον.
Ἵνα ὑμνῶ Σε, ὦ ὑπερύμνητε Κόρη, ἀκηδίας με χαλεπωτάτης ῥῦσαι, καὶ τῷ θείῳ φόβῳ, τείχισον τὴν ψυχήν μου.

ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.
Μαρτύρων ὡραιότης, σὺν αὐτοῖς δυσώπει, Μάμα θεόφρον Χριστὸν τὸν πανάγαθον, διδόναι λύσιν πταισμάτων ἡμῖν δεόμεθα.

Ὁ μέγας εὐσεβούντων, καὶ θερμὸς προστάτης, ἡμᾶς μεγάλων ἀπάλλατε θλίψεων, Μεγαλομάρτυς Κυρίου Μάμα πανεύφημε.

Ὑπάρχων φωτὸς πλήρης, Μάμα οὐρανίου, τῆς τῶν παθῶν ἡμᾶς ῥῦσαι ζοφώσεως, ταῖς φωτοφόροις πρεσβείαις σου ἀξιάγαστε.

Θεοτοκίον.
Ὑπὲρ τῶν ἀνυμνούντων, τὰ Σὰ μεγαλεῖα, μὴ διαλίπῃς πρεσβεύουσα ἄχραντε, τὸν προελθόντα ἀφράστως ἐκ τῶν λαγόνων Σου.

Αξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,
Βλάστημα Μαρτύρων ὢν εὐκλεές, Μάμα Ἀθλοφόρε, ἠγωνίσω μαρτυρικῶς, καὶ καταπαλαίσας, ἐχθροῦ τὴν δυναστείαν, λαμπρῶς ἐμεγαλύνθης, θαυμάτων χάριτι.

Τῷ Χριστῷ ἐκ βρέφους ἀνατεθείς, Μαρτύρων τοὺς πόνους, καὶ ἀγῶνας τοὺς θαυμαστούς, ὑπῆλθες ἀνδρείως, Μεγαλομάρτυς Μάμα, καὶ νίκης ἐκοσμήθης, τῷ διαδήματι.

Τοῦ πυρὸς τὴν φύσιν νενικηκώς, φέρων ἐν καρδίᾳ, πῦρ τὸ ἄϋλον τοῦ Χριστοῦ, καὶ θηρῶν ἀγρίων, ὁρμὰς ὡς χαλινώσας, ἀξίως ἐδοξάσθης, Μάμα πολύαθλε.

Πάντας τοὺς προστρέχοντας εὐλαβῶς, τῷ σεπτῷ ναῷ σου, ῥῦσαι πάσης ἐπιβουλῆς, Μάμα Ἀθλοφόρε, καὶ δίδου ἡμῖν μάκαρ, χαρὰν καὶ εὐφροσύνην, ψυχῆς καὶ σώματος.

Χαίρων ἐν τῇ χάριτι τοῦ Χριστοῦ, πρὸς πῦρ ἠγωνίσω, καὶ πρὸς ὕδωρ Μάμα στεῤῥῶς, καὶ καταπαλαίσας, τῆς πλάνης τὴν ἀπάτην, τῆς οὐρανίου δόξης λαμπρῶς ἠξίωσαι.

Νόσων καΐ κινδύνων καὶ συμφορῶν, δεινῆς ἀθυμίας, καὶ κακίας τοῦ δυσμενοῦς, ἡμᾶς ἀνωτέρους, φύλαττε Μάρτυς Μάμα, τοὺς μέγαν σε προστάτην, ἔχοντας Ἅγιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἱς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου· ἐλθέτω ἡ βασιλεία

σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἥν ψάλλομεν τὸ ἑξῆς.

Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.
Μάρτυς, Ἀθλοφόρε τοῦ Χριστοῦ, Μάμα εὐσεβούντων προστάτα, καὶ τεῖχος ἄῤῥηκτον, πάσης περιστάσεως καὶ συμφορᾶς χαλεπῆς, καὶ παθῶν ἀπολύτρωσαι, ταῖς σαῖς ἱκεσίαις, τοὺς πιστῶς προστρέχοντας, τῇ ἀντιλήψει σου· ἔχεις γὰρ πολλὴν παῤῥησίαν, μάκαρ πρὸς Χριστὸν διὰ τοῦτο, δέχου τὰς φωνᾶς ἡμῶν ἑκάστοτε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστέ ὅ Θεός ἡμῶν έλέησον ἡμᾶς.

’Ἀμήν.